eul_wid: gsq-aa

*Χαιρήμων ὁ τραγικός* · Chaeremon the Tragic Poet

# Fragments of a Dionysian Tragedy

*Ἀποσπάσματα Διονυσιακῆς Τραγῳδίας*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (dr, frg)
**Domain:** *Δρᾶμα* Drama
**Format:** *Ἔμμετρος* Verse

| | |
|---|---|
| book 1.1 | [ln_1]καὶ σώματος μὲν ὄψεις κατειργάζετο |
| book 1.2 | στίλβοντα λευκῷ χρώματι διαπρεπῆ. αἰδὼς δ’ ἐπερρύθμιζεν ἠπιώτατον ἐρύθημα λαμπρῷ προστιθεῖσα |
| book 1.3 | χρώματι·[ln_5]κόμαι δὲ κηρόχρωτος ὡς ἀγάλματος αὐτοῖσι βοστρύχοισιν ἐκπεπλασμένου ξουθοῖσιν ἀνέμοις ἐνετρύφων |
| book 1.4 | φορούμεναι |
| book 1c** | dramatis personae: (ΠΑΝ, ΠΟΙΝΑ, ΑΘΑΝΑ, ΕΡΜΑΣ) ΑΧΙΛΛΕΥΣ, ΦΟΙΝΙΞ, ΘΕΡΣΙΤΑΣ (decapitatus), ΔΙΟΜΗΔΗΣ, ΜΕΝΕΛΑΟΣ, ΑΓΑ- ΜΕΜΝΩΝ, ΦΟΡΒΑΣ, ΑΙΤΩΛΟΣ, ΑΥΤΟΜΕΔΩΝ, ΔΜΩΣ |
| book 2.1 | τύχη τὰ θνητῶν |
| book 2.2 | πράγματ’, οὐκ εὐβουλία |
| book 3 | ὡς οὐχ ὑπάρχων, ἀλλὰ τιμωρούμενος |
| book 4*.1 | Πενθεὺς ἐσομένης |
| book 4*.2 | συμφορᾶς ἐπώνυμος |
| book 5 | χορῶν ἐραστὴς κισσός, ἐνιαυτοῦ δὲ παῖς |
| book 6.1 | στεφάνους |
| book 6.2 | τεμόντες ἀγγέλους εὐφημίας |
| book 7.1 | κισσῷ τε ναρκίσσῳ τε |
| book 7.2 | τριέλικας κύκλῳ στεφάνων ἑλικτῶν ... |
| book 8 | [ln_1]ῥόδ’ ὀξυφεγγῆ κρίνεσιν ἀργεννοῖς ὁμοῦ |
| book 9.1 | [ln_1]ἀνθηροῦ τέκνα ἔαρος πέριξ |
| book 9.2 | στρώσαντες |
| book 10.1 | ἔνθ’ αἱ μὲν αὐτῶν εἰς ἀπείρονα |
| book 10.2 | στρατόν ἀνθέων ἄλογχον ἐστράτευσαν, ἡδοναῖς θηρώμεν 〈αι〉 οντα λειμώνων τέκνα |
| book 11.1 | [spk_οἱ παῖδες]οἱ παῖδες |
| book 11.2 | |

στεφάνους ἑτοιμάζουσιν, οὓς εὐφημίας κήρυκας εὐχαῖς

book 11.3 προὐβάλοντο δαιμόνων

book 12.1 [ln_1]πολλὴν ὀπώραν Κύπριδος εἰσορᾶν

book 12.2 παρῆν ἄκραισι

book 12.3 περκάζουσαν οἰνάνθαις

book 12.4 χρόνου

book 13 [ln_1]κόμαισιν ὡρῶν σώματ’ εὐανθῆ ῥόδα εἶχον, τιθήνημ’ ἔαρος ἐκπρεπέστατον

book 14.1 [ln_staging]ΟΙΝΕΥΣ περὶ παρθένων

book 14.2 τινῶν διηγούμενος ὧν ἐθεᾶτο (sc. μαινάδων ?)[ln_1]ἔκειτο δ’ ἡ μὲν λευκὸν εἰς

book 14.3 σεληνόφως

book 14.4 φαίνουσα μαστὸν λελυμένης ἐπωμίδος, τῆς δ’ αὖ χορεία λαγόνα τὴν ἀριστεράν ἔλυσε· γυμνὴ δ’ αἰθέρος θεάμασιν[ln_5]ζῶσαν γραφὴν ἔφαινε, χρῶμα δ’ ὄμμασιν λευκὸν μελαίνης ἔργον ἀντηύγει

book 14.5 σκιᾶς. ἄλλη δ’ ἐγύμνου καλλίχειρας ὠλένας, ἄλλης

book 14.6 προσαμπέχουσα θῆλυν αὐχένα. ἡ δὲ ῥαγέντων

book 14.7 χλανιδίων ὑπὸ πτυχαῖς[ln_10]ἔφαινε μηρόν, κἀξεπεσφραγίζετο ὥρας γελώσης

book 14.8 χωρὶς ἐλπίδων ἔρως. ὑπνωμέναι δ’ ἔπιπτον ἑλενίων ἔπι, ἴων

book 14.9 τε μελανόφυλλα

book 14.10 συγκλῶσαι

book 14.11 πτερά κρόκον θ’, ὃς ἡλιῶδες εἰς ὑφάσματα[ln_15]πέπλων

book 14.12 σκιᾶς εἴδωλον ἐξωμόργνυτο, ἕρση δὲ θαλερὸς ἐκτραφεὶς ἀμάρακος λειμῶσι μαλακοὺς ἐξέτεινεν αὐχένας.

book 14b.1 Χρὴ τιμᾶν θ[– ... Ἀρχὴ γὰρ θνητ[οῖς Ἱμείρου πάση[ς[ln_5]Ῥώμην

book 14b.2 τιμῶμεν μ[ Ἦθος ἔχειν ὅσιον ζη[ Μὴ πᾶν κέρδος ὅρα [ .[..]ν[.].κιαν

book 14b.3 σαυτ[ ...

book 16,15.1 [spk_sc. ὁ οἶνος

book 16,15.2 παρασκευάζων]τῶν

book 16,15.3 χρωμένων γὰρ

book 16,15.4 τοῖς

book 16,15.5 τρόποις κεράννυται sc. ὁ οἶνος

book 16,15.6 παρασκευάζων γέλωτα, σοφίαν, ἀμαθίαν, εὐβουλίαν.

book 17.1 ἐπεὶ δὲ σηκῶν

book 17.2 περιβολὰς ἠμείψαμεν ὕδωρ

book 17.3 τε ποταμοῦ σῶμα διεπεράσαμεν

book 18.1 χρεία δ’ ἀνάγκης οὐκ ἀπῴκισται

book 18.2 πολύ

book 19 ἅπαντα νικᾷ καὶ μεταστρέφει τύχη

book 20 σχολῇ βαδίζων ὁ χρόνος ἀφικνεῖται τ 〈ὸ π〉 ᾶν

book 21.1 οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ὅ τι οὐκ ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 21.2 χρόνῳ ζητοῦσιν ἐξευρίσκεται

book 22 χρόνος μαλάσσει πάντα κἀξεργάζεται

book 23.1 τό τοι κράτιστον

book 23.2 πανταχοῦ τιμητέον· ὁ γὰρ

book 23.3 φρονῶν εὖ πάντα

book 23.4 συλλαβὼν ἔχει

book 24.1 οὐ ζῶσιν οἵ τι μὴ συνιέντες

book 24.2 σοφόν

book 25.1 πρὶν γὰρ

book 25.2 φρονεῖν εὖ, καταφρονεῖν ἐπίστασαι

book 26 σφαλεὶς γὰρ οὐδεὶς εὖ βεβουλεῦσθαι δοκεῖ

book 27 ψευδῆ δὲ τοῖς ἐσθλοῖσιν οὐ πρέπει λέγειν

book 28 ἡγοῦ δ’ ἐν ὀργῇ πάντα γίγνεσθαι κακά

book 29 ὀργὴ δὲ πολλὰ δρᾶν ἀναγκάζει κακά

book 30 ὅλως τὸ κρεῖσσον οὐκ ἐᾷ φρονεῖν μέγα

book 31 σοφῶν γὰρ ἀνδρῶν τὰς ἁμαρτίας καλῶς κρίνειν, τὸ δ’ εἰκῆ καὶ μετὰ σπουδῆς κακόν

book 32 γυναῖκα θάπτειν κρεῖσσόν ἐστιν ἢ γαμεῖν

book 33.1 γένοιτό μοι τὰς χάριτας ἀποδοῦναι

book 33.2 πατρί

book 35.1 πρὸς υἱὸν ὀργὴν οὐκ ἔχει

book 35.2 χρηστὸς

book 35.3 πατήρ

book 36.1 πλοῦτος δὲ πρὸς μὲν τὰς ὅλας

book 36.2 τιμὰς ἰών οὐκ ἔσχεν ὄγκον ὥστε καὶ δόξης

book 36.3 τυχεῖν, ἀλλ’ ἔστ’ ἄσεμνος· ἐν δὲ δόσει βροτῶν ἡδὺς

book 36.4 συνοικεῖν καί τιν’ εἰληχὼς χάριν

book 37.1 οὐδεὶς ἐπὶ σμικροῖσι λυπεῖται

book 37.2 σοφός

book 38 γέρων γὰρ ὀργῇ πᾶς ὑπηρετεῖν κακός

book 39.1 τοῦ τε δυσκαπνωτάτου

book 39.2 φοίνικος ἐκ γῆς ῥιζοφοιτητοὺς

book 39.3 φλέβας

book 41?.1 ἔαρος ἡ νύμφη τέκνον

book 41?.2 τι μετὰ θέρους εἰς ὕστερον, ἐν

book 41?.3 χειμῶνι δ’ οἴχεται σὺν τῷ ἀνέμῳ κεκαρμένη

book 42.1 τὰς γὰρ

book 42.2 συμφοράς ἀπροσδοκήτους δαίμον[ες δι]ώρισαν